139. PREDICTION OF THE CRUCIFIXION (Mk-Lk Identical)

| Mark 10:32-34 | Luke 18:31-34 |
|---|---|
| *Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα,* | |
| *καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμβοῦντο, οἱ δὲ ἀκολουθοῦντες ἐφοβοῦντο.* | |
| *καὶ παραλαβὼν πάλιν* | *Παραλαβὼν δὲ* |
| *τοὺς δώδεκα* | *τοὺς δώδεκα* |
| *ἤρξατο αὐτοῖς λέγειν* | *εἶπεν πρὸς αὐτούς,* |
| *τὰ μέλλοντα αὐτῷ συμβαίνειν,* | |
| *33 ὅτι Ἰδοὺ ἀναβαίνομεν* | *Ἰδοὺ ἀναβαίνομεν* |
| *εἰς Ἱεροσόλυμα,* | *εἰς Ἰερουσαλήμ,* |
| | *καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν* |
| *καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου* | *τῷ υἱῷ τοῦ ἀνθρώπου·* |
| *παραδοθήσεται τοῖς ἀρχιερεῦσιν* | |
| *καὶ τοῖς γραμματεῦσιν, καὶ* | |
| *κατακρινοῦσιν αὐτὸν θανάτῳ καὶ* | |
| *παραδώσουσιν αὐτὸν* | *32 παραδοθήσεται γὰρ* |
| *τοῖς ἔθνεσιν* | *τοῖς ἔθνεσιν* |
| *34 καὶ ἐμπαίξουσιν αὐτῷ* | *καὶ ἐμπαιχθήσεται* |
| | *καὶ ὑβρισθήσεται* |
| *καὶ ἐμπτύσουσιν αὐτῷ* | *καὶ ἐμπτυσθήσεται,* |
| *καὶ μαστιγώσουσιν αὐτὸν* | *33 καὶ μαστιγώσαντες* |
| *καὶ ἀποκτενοῦσιν,* | *ἀποκτενοῦσιν αὐτόν,* |
| *καὶ μετὰ τρεῖς ἡμέρας* | *καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ* |
| *ἀναστήσεται.* | *ἀναστήσεται.* |
| | *34 καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα.* |

34 words out of 132 words = 26%